eul_wid: aaa-ad

*Εὔμηλος ὁ Κορίνθιος* · Eumelus of Corinth

# Fragments on Corinthian Genealogy

*Ἀποσπάσματα περὶ Κορινθιακῆς Γενεαλογίας*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Ἐπική* Epic (Homeric) (frg)
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

book 2.1 Ἀλλ' ὅτε δ' Αἰήτης καὶ Ἀλωεὺς ἐξεγένοντο Ἠελίου
book 2.2 τε καὶ Ἀντιόπης, τότε δ' ἄνδιχα χώρην δάσσατο
book 2.3 παισὶν ἑοῖς Ὑπερίονος ἀγλαὸς υἱός· ἣν μὲν ἔχ' Ἀσωπός, ταύτην πόρε δίῳ Ἀλωεῖ·[ln_5]ἣν δ' Ἐφύρη κτεάτισς', Αἰήτῃ δῶκεν ἅπασαν· Αἰήτης δ' ἄρ' ἑκὼν Βούνῳ παρέδωκε
book 2.4 φυλάσσειν, εἰσόκεν αὐτὸς ἵκοιτ' ἢ ἐξ αὐτοῖό τις ἄλλος ἢ πάις ἢ υἱωνός· ὃ δ' ᾤχετο Κολχίδα γαῖαν.
book 9.1 Τὸν δ' ἕλεν ἀμφασίη ῥιπῇ στιβαροῖο σόλοιο, Αἰήτην. οἳ δ' ὥστε θοοὶ κύνες ἀμφιθορόντες ἀλλήλους βρυχηδὸν ἐδήιον· οἳ δ' ἐπὶ γαῖαν μητέρα πῖπτον ἑοῖς ὑπὸ δούρασιν ἠύτε
book 9.2 πεῦκαι[ln_5]ἢ δρύες, ἅς τ' ἀνέμοιο κατάικες δονέουσιν.
book 11.1 Ὄφρα θεῷ δεκάτην ἀκροθίνιά τε κρεμάσαιμεν
book 11.2 σταθμῶν ἐκ ζαθέων καὶ κίονος ὑψηλοῖο.
book 13 Τῷ γὰρ Ἰθωμάτᾳ καταθύμιος ἔπλετο μοῖσα ἁ καθαρὰ ……. καὶ ἐλεύθερα σάμβαλ' ἔχοισα.
book 16 Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἐννέα κοῦραι.